www.tezaurliturgic.ro

Δρος ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας




# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ
ΚΑΙ ΘΕΟΦΟΡΟΥ
ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΡΣΕΝΙΟΥ ΤΟΥ ΝΕΟΥ

ΤΟΥ ΕΝ Τῌ ΝΗΣῼ
ΠΑΡῼ ΑΣΚΗΣΑΝΤΟΣ
ΜΕΤΑ ΠΡΟΣΘΗΚΗΣ

## ΧΑΙΡΕΤΙΣΤΗΡΙΩΝ ΟΙΚΩΝ ΚΑΙ ΕΓΚΩΜΙΩΝ

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ ΧΡΙΣΤΟΥ
ΔΑΣΟΥΣ ΠΑΡΟΥ

ΑΘΗΝΑΙ 2006

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. *Τῶν οὐρανίων ταγμάτων.*

Τὸν εὐθαλῆ τῆς Ἠπείρου
βλαστὸν τιμήσωμεν,
τὸν ἐν τῇ νήσῳ Πάρῳ
ἐξαιρέτως ἀρτίως
ἀσκήσαντα καὶ πάντων τῶν ἐν αὐτῇ
ἀσκουμένων ὑπέρτερον
ἀναδειχθέντα, μελίσμασι μελιχροῖς,
πνευματέμφορον Ἀρσένιον.

Τῶν ὀρφανῶν ὁ προστάτης,
Χριστός, Ἀρσένιε,
σὲ ἀπορφανισθέντα
ἐκ παιδὸς ἴθυνέ σε
πατέρα πρὸς τὸν θεῖον καὶ ἀσκητήν,
Δανιήλ, τὸν ἀοίδιμον,

www.tezaurliturgic.ro

τὸν σὲ διδάξαντα τρόπους μοναδικῆς
ἀγωγῆς ἐν ὄρει Ἄθωνος.

Ἐν Φολεγάνδρῳ, Σικίνῳ
καὶ Πάρῳ τήξαντα
σὺν ταῖς ἐπιθυμίαις
καὶ τοῖς πάθεσι σάρκα
νηστείᾳ, ἐγκρατείᾳ καὶ προσευχῇ
ἐν ἐσχάτοις τοῖς ἔτεσιν
ἀνευφημήσωμεν πάντες, θεοειδῆ
ἀσκητήν, λαμπρῶς, Ἀρσένιον.

Τὸν ἐποφθέντα θαυμάτων
παντοίων πέλαγος
καὶ ποδηγὸν πρὸς πόλον
ἀπλανῆ χριστωνύμων,
Ἀρσένιον τὸν πάνυ, πνευματικῶς
εὐφημήσωμεν κράζοντες·
χαῖρε, ὁσίων ἀπαύγασμα νεαυγῶν
καὶ φωστὴρ πατέρων πάμφωτε.

**Δόξα.** Ἦχος β΄.

Θεοφόρε ὅσιε, ὁ ἐκ νεότητος ἐργασάμενος τὸ θεῖον θέλημα
καὶ ἄγγελος ὀφθεὶς ἐν σώματι, ἀξίως δεδόξασαι·
ὅθεν πάντες τῶν κατορθωμάτων σου τρυφῶντες
καὶ τῆς σῆς χάριτος ἀπολαύοντες
ὡς μεσίτην ἡμῶν θερμότατον προβάλλομεν πρὸς Κύριον,
Ὃν ὁλοσχερεῖ ἐφέσει ψυχῆς ἠγάπησας, Ἀρσένιε.

**Καὶ νῦν.** Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου....

www.tezaurliturgic.ro

Εἰς τὸν Στίχον.

Ἦχος β΄. *Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίροις, νεολαμπῶν
πατέρων νήσου Πάρου,
Ἀρσένιε, κοσμῆτορ,
ὁ θεαυγῶς βιώσας
καὶ λάμψας ξένοις θαύμασιν.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίρει νῦν ἡ μονὴ
τοῦ Δάσους ἐν τῇ Πάρῳ
κατέχουσα ὡς ὄλβον
πολύτιμον τὴν θήκην
λειψάνων σου, Ἀρσένιε.

Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Ὅσιε ἀσκητά,
ἐφαίδρυνας τὴν Πάρον
σῇ ἀκραιφνεῖ ἀσκήσει
καὶ θαυμασίων πλήθει,
περίδοξε Ἀρσένιε.

**Δόξα.** Τριαδικόν.

Ἄναρχον Παντουργὸν
σὺν Λόγῳ συνανάρχῳ
καὶ Πνεύματι τῷ θείῳ,
Τριάδα τὴν ἁγίαν,
τρανῶς δοξολογήσωμεν.

www.tezaurliturgic.ro

**Καὶ νῦν.** Θεοτοκίον.

Μήτραν σου τὴν ἁγνὴν
ἡγίασεν Υἱός σου
ὁ πάνσεπτος, Παρθένε,
ὁ εὐλογήσας χεῖρας
τοῦ Συμεών, ὡς ἔπρεπε.

Νῦν ἀπολύεις... τὸ Τρισάγιον,
τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ
καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ,
εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος δ´. *Ὡς γενναῖον ἐν μάρτυσι.*

Τὸ νεόφωτον πύρσευμα
Ἐκκλησίας ὑμνήσωμεν
καὶ κρατῆρα θείων χαρίτων κράζοντες
ἐν κατανύξει· Ἀρσένιε,
σοφίας κρηπίδωμα
καὶ ταμεῖον ἀρετῶν,
ἄρτι Πάρον ἡγίασας
τῶν ἱδρώτων σου
ταῖς ῥοαῖς καὶ δακρύων σου ῥανίσι,
δι᾽ ὧν ἤρδευσας τὴν χθόνα
τῆς νήσου ταύτης, θειότατε.

Τὸ περίδοξον καύχημα
τῆς Ἠπείρου τιμήσωμεν
φιλοσίων πάντων χοροὶ γηθόμενοι
τὸν ὥσπερ κρίνον ἀνθήσαντα

www.tezaurliturgic.ro

ἡδὺ ἐν τῷ Ἄθωνι
καὶ ἐν νήσοις ταῖς κλειναῖς
τῶν Κυκλάδων, Ἀρσένιον
τὸν γλυκύτατον,
καὶ αὐτοῦ εὐωδίᾳ τῇ ἀῤῥήτῳ
ἀρετῶν τῶν χριστωνύμων
τὰς ὁμηγύρεις εὐφράναντα.

Δανιὴλ τοῦ θεόφρονος
μαθητὴν εὐπειθέστατον
μέλψωμεν, Ἀρσένιον τὸν τρισόλβιον,
τὸν ἐποφθέντα ὑπέρτερον
τοῦ κόσμου συγχύσεως
καὶ τὴν σάρκα τῷ νοΐ
ἀκλινῶς ὑποτάξαντα
ὡς ἰσάγγελον
ἀσκητὴν δαψιλῶς θαυμαστωθέντα
οὐρανόθεν ἐκβοῶντες·
χαῖρε, τῆς πίστεως πρόβολε.

Τὴν σορὸν τῶν λειψάνων σου
εὐλαβῶς προσπτυσσόμενοι
τοῖς πιστοῖς ἐκβλύζουσαν θεῖα νάματα
ὡς ποταμὸν ἀνεξάντλητον
ἰάσεων ἅπασι
καταφεύγουσι τῇ σῇ,
θεοφόρητε, χάριτι
ἀνακράζομεν·
χαῖρε, μάκαρ Ἀρσένιε, τῆς Πάρου
ὁ θειότατος προστάτης
καὶ ἰατρὸς ὁ ἀνάργυρος.

www.tezaurliturgic.ro

Θεοείκελον ὅσιον,
ἡσυχίας τὸ σέμνωμα,
λύχνον ἐγκρατείας τὸν παμφαέστατον,
φωτὸς ἀΰλου ἀμάρυγμα,
κανόνα εὐθύτατον
τῶν ἐνθέων ἀρετῶν
καὶ μονῆς Δάσους καύχημα
ἐπαινέσωμεν
νῦν, Ἀρσένιον, ὡς Χριστοῦ ἀγάπης
ἐνδιαίτημα καὶ Φάους
τοῦ τρισηλίου ἀπαύγασμα.

Δεῦτε, πάντες φιλέορτοι
μελῳδήμασι στέψωμεν
μνήμην Ἀρσενίου τὴν πανσεβάσμιον
τοῦ ἐν τῇ Πάρῳ ἀσκήσαντος
καὶ ἄρτι κοσμήσαντος
τῶν ὁσίων τοὺς χοροὺς
ἐν τῇ ἄνω λαμπρότητι
βίῳ κρείττονι
καὶ ἀσκήσει αὐτοῦ τῇ θεαρέστῳ,
δι᾽ ἧς Κτίσαντι μεγάλως
καὶ Λυτρωτῇ εὐηρέστησε.

**Δόξα.** Ἦχος πλ. β΄.

Ἀσκητικῇ διαπρέψας πολιτείᾳ ἐν τοῖς ἐσχάτοις χρόνοις
πλουσίως ἐθαυμαστώθης παρὰ Κυρίου,
τοῦ ἱλαροῦ δοτῆρος πάντων τῶν ἀγαθῶν,
Ἀρσένιε ὅσιε, ἀσκητὰ ἰσάγγελε·
σὺ γὰρ τὴν στενὴν καὶ τεθλιμμένην τρίβον βαδίσας
ἐν Ἄθωνι καὶ Κυκλάσι, παμμακάριστε,

www.tezaurliturgic.ro

ὑπὲρ φύσιν ἠγώνισαι·
λαβὼν οὖν τὸ στέφος τῆς ἀφθαρσίας καὶ θεωθεὶς κατὰ μέθεξιν
χάριν εἴληφας πρεσβεύειν ὑπὲρ τῶν τιμώντων
τὴν φωταυγῆ καὶ πανένδοξον μνήμην σου.

**Καὶ νῦν.** Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

Εἴσοδος. Φῶς ἱλαρόν.
Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.
(Κεφ. β΄ 1-11)

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὰ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ᾽ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ᾽ αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη ;῍Η τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν ; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

www.tezaurliturgic.ro

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. α´ 1-10)

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ´ 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι

ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα
### Ἦχος α΄.

Τέρπου καὶ χόρευε ἡ ἁγιοτρόφος Πάρος,
ὅτι ἐν τοῖς μονυδρίοις σου ὡς παρ᾽ ὑδάτων διεξόδοις
καθάπερ ῥόδον ἤνθησεν ἀρτίως Ἀρσένιος ὁ θεσπέσιος·
οὗτος γὰρ γεωργὸς ὡς ἄριστος
τὴν χθόνα τῆς ψυχῆς αὐτοῦ δάκρυσιν ἐκαλλιέργησε
καὶ φυτοκόμος ἀρετῶν γενόμενος
πολύχουν καρπὸν ἀπέδωκε τῷ Κυρίῳ·
Αὐτῷ οὖν νῦν συνευφραινόμενος ἐν λειμῶνι θείῳ
ἀδιαλείπτως πρεσβεύει
ὑπὲρ τῶν ψυχῶν τῶν τιμώντων αὐτοῦ τὰ σκάμματα
πρὸς ἀνάβασιν ἐκ τοῦ κατ᾽ εἰκόνα εἰς τὸ καθ᾽ ὁμοίωσιν.

### Ἦχος β΄.

Τὸν ἐν ὄρει τοῦ Ἄθωνος καὶ ἐν ταῖς νήσοις
Φολεγάνδρῳ καὶ Πάρῳ
διαπρέψαντα ὁσιότητι, Ἀρσένιον τὸν νέον, ὕμνοις
καταστέψωμεν·

www.tezaurliturgic.ro

οὗτος γὰρ ὡς Χριστοῦ ἐραστὴς καὶ γνήσιος φίλος
ἐδείχθη καύχημα μονοτρόπων
καὶ διδάσκαλος τῆς εὐσεβείας ἐνθεώτατος·
ζηλωτὴς οὖν γεγόμενος τῶν καμάτων Ἠλιοὺ καὶ Κυρίλλου,
τῶν αὐτοῦ ὁσίων προκατόχων ἐν τῇ ἡγουμενίᾳ
τῆς μονῆς ἁγίου Γεωργίου Λαγκάδος,
δόξαν καὶ τιμὴν θεόθεν ἄπλετον εἴληφε
πρεσβεύειν ὑπὲρ τῶν τιμώντων αὐτὸν ἐν ᾄσμασι.

### Ἦχος γ΄.

Τῇ ἰσαγγέλῳ σου πολιτείᾳ ὡς φάρος τηλαυγέστατος
ἐν ταῖς νήσοις τῶν Κυκλάδων ἔλαμψας, Ἀρσένιε·
δι᾿ ἀγάπην γὰρ τοῦ Κυρίου ἠρνήσω πάντα τὰ ῥέοντα ὡς σκύβαλα
καὶ τὰ αἰώνια καὶ ἄῤῥευστα ἐπεζήτησας ἐκ τῆς σῆς νεότητος·
ἐπιτυχὼν οὖν τοῦ ἐφετοῦ δι᾿ ἀγῶνος συντόνου
ὑπακοῆς, ἐγκρατείας καὶ ταπεινώσεως
οὐρανοπολίτης γέγονας
καὶ πρεσβευτὴς ἡμῶν πρὸς Κύριον θερμότατος.

### Ἦχος δ΄.

Ἐξέπληξας τοὺς Παρίους τῇ σῇ πρὸς Θεὸν παῤῥησίᾳ,
νεοφανὲς ἀσκητὰ Ἀρσένιε·
σὺ γὰρ ὄμβρον ἐν γῇ αὐχμώσῃ κατήγαγες,
ἔλαιον ἐν κοφίνῳ μετήνεγκες
καὶ νοσοῦσι τὴν ὑγίειαν ἐβράβευσας·
ῥῦσαι οὖν καὶ ἡμᾶς τῆς τοῦ ἐχθροῦ ἀπειλῆς
τοὺς τιμῶντας τὴν μνήμην σου
πρεσβείαις σου πρὸς τὸν εὔσπλαγχνον Κύριον.

www.tezaurliturgic.ro

**Δόξα.** Ἦχος ὁ αὐτός

Τὸν ξενωθέντα τῶν ἐν κόσμῳ καὶ οἰκειωθέντα τῷ Λόγῳ,
ὡς ξένον ἐν σαρκί πολιτευσάμενον ἐν Πάρῳ,
Ἀρσένιον τὸν νέον, τιμήσωμεν·
οὗτος γὰρ νηστείᾳ ἐπιμόνῳ καὶ προσευχῇ ἀδιαλείπτῳ
ἑαυτὸν καθάρας ξένων θεωριῶν κατηξίωται
καὶ θεοειδὴς ὅλος ἐγένετο, ὁ μακάριος·
διὰ παντὸς οὖν ἀγγέλοις συναυλιζόμενος
καὶ τῆς τρισακτίνου Θεότητος τῷ θρόνῳ παριστάμενος
ἀπαύστως πρεσβεύει ὑπὲρ τῶν τιμώντων
αὐτοῦ μνήμην τὴν ἀεισέβαστον.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους φύλαττε,...

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. *Χαίροις, ἀσκητικῶν.*

Χαίροις, ὁ τῆς Ἠπείρου βλαστός,
ὁ παιδιόθεν ὀρφανίας γευσάμενος
πικρᾶς σαρκικῶν γονέων,
ἀλλὰ ὑπὸ τοῦ Θεοῦ
προσληφθεὶς τῇ σκέπῃ
τοῦ φιλόστοργον
ταχὺ ἀποστείλαντος
Δανιὴλ σοι τὸν ὅσιον,
τὸν καὶ πρὸς βίον
τὸν μονήρη ἰθύναντα
σέ, Ἀρσένιε,
τὸν σεπτὸν καὶ ἰσάγγελον·
μνήμην οὖν σοῦ τὴν πάμφωτον

www.tezaurliturgic.ro

τελοῦντες γηθόμενοι
καθικετεύομεν πόθῳ·
ἡμᾶς υἱοὺς τοῦ Παντάνακτος
τοὺς ἐν ὀρφανίᾳ
ἀγαθῶν τῷ ὄντι ἔργων,
σοφέ, ἀνάδειξον.

Στίχος. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Χαίροις, τῶν ἀσκητῶν καλλονή,
γνώμων εὐθύτατος σοφίας τῆς ἄνωθεν,
ἀλάβαστρον εὐωδίας
πνευματικῶν ἀρετῶν,
δένδρον Παρακλήτου
θείου σύγκαρπον,
Ἀρσένιε ὅσιε,
ἀσκουμένων ἀρχέτυπον,
τῆς ἀπαθείας
πλοῦτος ὄντως ἀσύλητος
καὶ χρηστότητος
διαυγέστατον ἔσοπτρον·
πάτερ θεομακάριστε,
τῆς Πάρου θησαύρισμα
καὶ τοῦ σεμνείου τοῦ Δάσους
φύλαξ, ἀκέστορ καὶ ἔφορε,
Χριστὸν ἐκδυσώπει
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι
τὸ μέγα ἔλεος.

Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

www.tezaurliturgic.ro

Μνήμην τὴν σὴν τελοῦντες λαμπρῶς
τῆς Φολεγάνδρου καὶ τῆς Πάρου οἱ σύλλογοι,
Ἀρσένιε, χριστωνύμων
ἀσκητικούς σου στεῤῥοὺς
πόνους εὐφημοῦμεν
πρὸς τελείωσιν
καὶ πίστει κραυγάζομεν·
νέον πίστεως σέμνωμα,
παρηγορίας
ἡ αὐγὴ ἡ χρυσέρυθρος
τῶν ἐν θλίψεσι
καὶ πηγὴ ἡ ἀκένωτος
παραμυθίας, ὅσιε,
τῶν καταφευγόντων σοι
ἐν περιστάσεσι, σπεῦσον
καὶ εἰς χαρὰν μεταποίησον
τὴν λύπην τῶν ὕμνοις
νῦν στεφόντων σου τὴν μνήμην
φαιδροῖς καὶ ᾄσμασι.

**Δόξα.** Ἦχος πλ. δ΄.

Ὅσιε πάτερ Ἀρσένιε, δουλαγωγῶν τὸ σῶμα
ἐν ἀγρυπνίαις καὶ νηστείαις καὶ δάκρυσι
ἠλευθέρους τὸ πνεῦμα πρὸς κοινωνίαν θείαν·
δεξάμενος οὖν θείου Πνεύματος τὰς ἀκτῖνας
καὶ πνευματέμφορος γεγονὼς
ἠξιώθης συνεῖναι ἀγγελικαῖς χοροστασίαις
καὶ Χριστῷ πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν.** Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι...

www.tezaurliturgic.ro

## Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. *Τὸν συνάναρχον Λόγον.*

Τὸ νεόφωτον ἄστρον Χριστοῦ τῆς πίστεως,
ἀσκητικῆς πολιτείας
καὶ θαυμασίων βολαῖς
νῆσον Πάρον τὸν φαιδρύναντα τιμήσωμεν,
θεῖον Ἀρσένιον, λαμπρῶς
ὡς νεότευκτον ναὸν
τοῦ Πνεύματος τοῦ ἁγίου
καὶ ἀρωγὸν ἐν κινδύνοις
ἡμῶν καὶ πρέσβυν ἑτοιμότατον.

## Θεοτοκίον.

Χαῖρε, Πύλη Κυρίου ἡ ἀδιόδευτος...

## Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον,
ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ,
μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. *Τὸν τάφον Σου, Σωτήρ.*

Ὡς ἄδυτος ἀστὴρ
ἐν τῇ Πάρῳ ἐκλάμψας
ἐλάμπρυνας ψυχὰς
Παρακλήτου τῷ φέγγει
τῶν καταφευγόντων σοι·
ὅθεν παρακαλοῦμέν σε·
λῦσον ζόφωσιν
ἡμῶν τελούντων ἐν πίστει
τὴν φωσφόρον σου
καὶ ἀξιέπαινον μνήμην,
Ἀρσένιε ὅσιε.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Πιστῶν καταφυγή,
Παναγία Παρθένε,
σὸν Τόκον πολιὸς

www.tezaurliturgic.ro

Συμεών, ὁ λευΐτης,
ηὐλόγησε, πάναγνε,
ἐν χερσὶ βασταζόμενον
ταῖς ἀχράντοις σου,
ὅτε αὐτόν, Μῆτερ, εἶδε
προσαγόμενον
εἰς τὸν ναόν, Θεοτόκε,
ὑπὸ σῆς σεμνότητος.

Μετὰ τὴν β΄. Στιχολογίαν Κάθισμα.
Ἦχος δ΄. *Ταχὺ προκατάλαβε.*

Τῆς Μεταμορφώσεως
Χριστοῦ ἐν Πάρῳ μονῆς
κοσμῆτορ περίδοξε
καὶ ἀρωγὲ καὶ φρουρέ,
Ἀρσένιε ὅσιε,
πάντας τοὺς προσκυνοῦντας
σὸν πανάγιον τάφον
καὶ θήκην σῶν λειψάνων
ἐν αὐτῇ περιφρούρει
καὶ τήρει τῆς ἐχθροῦ ἀσινεῖς
βλάβης ἀείποτε.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Ἀγγέλων ὁ σύλλογος
προκύψας ἐπὶ τῆς γῆς
ἰδὼν ἀφικόμενον
πρὸς τὸν ναὸν ἐν σεπταῖς
χερσὶ βασταζόμενον
ταῖς σαῖς, Θεογεννῆτορ,

www.tezaurliturgic.ro

τὸν Πρωτότοκον πάσης
κτίσεως ἐμελῴδει
μυστικῇ συμφωνίᾳ
καὶ ὕμνον σοι τερπνὸν ἀληθῶς
θεῖον ἐξύφαινεν.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.
Ἦχος γ΄. *Τὴν ὡραιότητα τῆς παρθενίας σου.*

Ὁσίοις σκάμμασι καλλωπιζόμενος,
πάτερ Ἀρσένιε, ἀρτίως γνήσιος
ἐπώφθης φίλος τοῦ Χριστοῦ καλῶς ἐπὶ γῆς βιώσας·
ὅθεν κατηξίωσαι οὐρανίου λαμπρότητος
καὶ ἀγαλλιάσεως ἐν τῷ πόλῳ ἀτέρμονος
Χριστὸν ἐκδυσωπῶν δοῦναι λύσιν πᾶσιν ἡμῖν ἁμαρτημάτων.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Στίχος. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον Ὁσιακόν (Λουκ. στ΄ 17 - 23).

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...

Ζήτει τῇ Παρασκευῇ τῆς Β΄ Ἑβδομάδος.

www.tezaurliturgic.ro

Ὁ Ν΄ Ψαλμός.

**Δόξα.**

Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον,...

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

Ἰδιόμελον. Ἦχος πλ. β΄

Καλῶς ἀγωνισάμενος ἐν Ἄθωνι, Φολεγάνδρῳ καὶ Πάρῳ
καὶ διδάσκαλος τῆς ἀρετῆς χρηματίσας, Ἀρσένιε,
Θεῷ καὶ ἀνθρώποις εὐηρέστησας, ὅσιε·
καὶ νῦν τὰς ἀμοιβὰς τῶν καμάτων σου δρεπόμενος
μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε
καὶ πιστῶς προσκυνούντων τὴν χαριτόβρυτον
τῶν λειψάνων σου λάρνακα.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς·

« **Ἀρσενίῳ ἐγκώμιον πλέκω. Χαραλάμπους Μ.** »

**Ὠδὴ α΄.** Ἦχος δ΄. *Ἀνοίξω τὸ στόμα μου.*

Ἀρσένιον ὅσιον,
τὸ τῆς Ἠπείρου ἐκβλάστημα
καὶ ἔρνος τῆς πίστεως
νεοθαλὲς καὶ τερπνὸν
εὐφημήσωμεν,
Ἀρσένιον τὸν νέον,

www.tezaurliturgic.ro

ὡς σκήνωμα χάριτος
θείας περίλαμπρον.

Ῥωννύμενος Πνεύματι
τῷ Παναγίῳ ἐπάτησας
ἐχθροῦ τὰ φρυάγματα,
νεολαμπὲς ἀσκητά,
καὶ ἐδόξασας
τὸ ὄνομα Κυρίου
τοῦ σὲ νῦν, Ἀρσένιε,
ἀντιδοξάσαντος.

Σοφίας τῆς ἄνωθεν
καὶ ἀρετῆς ἐνδιαίτημα,
τρισμάκαρ Ἀρσένιε,
ἀπὸ παιδὸς τῷ Χριστῷ
ἠκολούθησας
τῷ καταστέψαντί σε
χρυσῷ διαδήματι
ἀϊδιότητος.

Θεοτοκίον.

Ἐκ θείας νηδύος σου
δικαιοσύνης ὁ Ἥλιος
ὁ μέγας ἀνέτειλε
τῷ κόσμῳ, Οὗ ταῖς αὐγαῖς
καταλάμπρυνον
κἀμέ, Θεογεννῆτορ,
ἁγνὴ ἀειπάρθενε,
ἵνα δοξάζω σε.

www.tezaurliturgic.ro

**Ὠδὴ γ΄.** *Τοὺς σοὺς ὑμνολόγους.*

Νεόφωτον ἄστρον Ἐκκλησίας,
Ἀρσένιε μάκαρ, Δανιὴλ
ὁ θαυμαστὸς ὀρφάνιαν
σὴν παιδικὴν ἀπήμβλυνε
καὶ τὴν στοργὴν μακάρων σου
γονέων ἀντικατέστησε.

Ἰθύνας τὰ διαβήματά σου
πρὸς τὰς Κυδωνίας, εἰς σχολὴν
περίδοξον, ὁ Κύριος,
Παρίων ἐγκαλλώπισμα,
μαθήσεώς σε ἔδειξε
τύπον, Ἀρσένιε, ἄριστον.

Ὡς στῦλον ὑπακοῆς σε πάντες
κατέγνωμεν, πάτερ ἱερέ,
τὸν κόπτοντα τὸ θέλημα
τὸ ἴδιον καὶ Γέροντι
αὐτοῦ καλῶς ὑπείκοντα
τῷ θεοφόρῳ, Ἀρσένιε.

Θεοτοκίον.

Ἐν θείαις ὠλέναις σου, Παρθένε,
βαστάζουσα βρέφος τὸν Χριστὸν
υἱόν σου ὡς πρωτότοκον
ἡμέρας τεσσαράκοντα
εἰς τὸν ναὸν προσήγαγες
Αὐτοῦ μετὰ τὴν ἐνσάρκωσιν.

www.tezaurliturgic.ro

Κάθισμα. Ἦχος γ΄. *Θείας πίστεως.*

Νεαυγέστατε φωστὴρ τῆς Πάρου
κατεφώτισας βολαῖς ἀγάπης
καὶ ἀμέμπτου ἀγωγῆς σου τὰ σύμπαντα·
ὅθεν λαμπρῶς σε ὑμνοῦντες, Ἀρσένιε,
ὡς φωτοφόρον λαμπάδα τοῦ Πνεύματος
πόθῳ κράζομεν· ἡμῶν σκοτομήνην δίωξον
παθῶν ἀκτῖσιν ἄκρας συμπαθείας σου.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν.** Θεοτοκίον.

Σέ, Μητρόθεε, ἰδὼν ὁ πρέσβυς
βρέφος φέρουσαν ἐν σαῖς ἀγκάλαις
Ἰησοῦν ὁ Συμεὼν ἀνεκραύγασε·
νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα,
ὅτι αἱ κόραι ὀμμάτων μου εἶδόν σου
τὸ σωτήριον, πρὸς δόξαν Ὅπερ ἡτοίμασας
λαοῦ Σου πρὸ ἐτῶν ἀπείρων, ἅγιε.

Ὠδὴ δ΄. *Ὁ καθήμενος ἐν δόξῃ.*

Ξηρῶν τε καὶ ματαίων
ὑπερεῖδες συνάφειαν
νουνεχῶς βιώσας
ἐν σαρκὶ ὡς ἄγγελος, ὅσιε,
ἀσκητικῶς· ὅθεν πόθῳ σε γεραίροντες
ἀσπαζόμεθα
λειψάνων θήκην σὴν πάνσεπτον.

Κῆπον ἀρετῶν καρδίαν
τὴν ἁγνήν σου ἐποίησας,
ἀσκητὰ τῆς Πάρου

www.tezaurliturgic.ro

νεαυγές, τρισμάκαρ Ἀρσένιε,
ὑπακοῇ τῷ σῷ Γέροντι, θεσπέσιε,
ταπεινώσει τε
καὶ ἐκκοπῇ σοῦ θελήματος.

Ὡς ἀνάργυρον τιμῶμεν
ἰατρόν σε, Ἀρσένιε,
καὶ δοξολογοῦμεν
σὲ τὸν θαυμαστώσαντα Κύριον
τὸν Σιλωὰμ κολυμβήθραν ἄλλην δείξαντα
τῶν λειψάνων σου
τὴν θήκην τὴν χαριτόβρυτον.

Θεοτοκίον.

Μητροπάρθενε Κυρία,
σὲ ἀεὶ μεγαλύνοντες
σὸν Υἱὸν ἐκθύμως,
νεογνὸν τεσσαρακονθήμερον
Ὃν τῷ ναῷ προσεκόμισας, δοξάζομεν,
βασταζόμενον
ταῖς παναγίαις ὠλέναις σου.

**Ὠδὴ ε΄.** *Ἐξέστη τὰ σύμπαντα.*

Ἰδοὺ νῦν τὴν μνήμην σου
τὴν πάνσεπτον, Ἀρσένιε,
μέλποντες ὑμνοῦμέν σε ὡς λύχνον
τῶν διδασκάλων
τῆς εὐσεβείας λαμπρόν,
τὸν ἐν Φολεγάνδρῳ μαθητὰς
νήσῳ καταυγάσαντα
θείᾳ διδασκαλίᾳ σου.

www.tezaurliturgic.ro

Ὁσίων ὁμόζηλος
τῶν πάλαι ἄρτι πέφανσαι,
ὁ τοῦ Δανιὴλ καὶ τοῦ Κυρίλλου
εὐχῇ πατέρων
ὁσίων κατασταθεὶς
ἐν Πάρῳ, Ἀρσένιε κλεινέ,
καὶ βαδίσας βήματα
τὰ αὐτῶν πρὸς τελείωσιν.

Νῦν πάντες ὑμνοῦμέν σε,
τὸν ἄκακον, ἀόργητον,
καὶ σεμνὸν πατέρα τῶν ἐν Πάρῳ
ἐνασκουμένων
ἀνδρῶν τε καὶ γυναικῶν
καὶ πλήθους ἰθύντορα σεπτὸν
εὐσεβῶν πρὸς θέωσιν
σοὶ σπευδόντων, Ἀρσένιε.

Θεοτοκίον.

Πιστῶς ἀνακράζομεν·
ἀκέστορ, φύλαξ ἄγρυπνε,
πρόμαχε, φρουρέ τε καὶ προστάτις
Παρίων πάντων
καὶ χριστωνύμου λαοῦ,
ὦ Ἑκατονταπυλιανή,
δέξαι μου τὴν δέησιν,
Συμεὼν ὡς τὸν Τόκον σου.

**Ὠδὴ στ΄.** *Τὴν θείαν ταύτην.*

Λαμπτὴρ μονῆς Δάσους πάμφωτε,
Ἀρσένιε, τὸν ζόφον τῶν θλίψεων
ἐλαύνεις πάντοτε

www.tezaurliturgic.ro

τῶν προσκυνούντων τὸν τάφον σου
ἐν ταύτῃ καὶ τὴν θήκην
σεπτῶν λειψάνων σου.

Ἐν τῷ κρυπτῷ προσευχόμενον
σὲ βλέπων ὁ πατὴρ ὁ οὐράνιος
δόξαν ἀπέδωκε
ἐν φανερῷ σοι, Ἀρσένιε,
καὶ σκεῦος θαυμασίων
παντοίων ἔδειξε.

Κυρίου δοῦλε σεμνότατε,
ἐξ ὕψους ὑετὸν γῇ ἀπέδωκας
αὐχμώσῃ, ὅσιε,
καὶ ἐν κοφίνῳ μετήνεγκας
ἔλαιον τῇ μονῇ σου,
σεπτὲ Ἀρσένιε.

Θεοτοκίον.

Ὡς εἶδε προσερχομένην σε
βαστάζουσαν τεσσαρακονθήμερον
βρέφος τὸν Κύριον
ἐν τῷ ναῷ, ἔφη, Δέσποινα,
ὁ Συμεών· Χριστέ μου,
νῦν με ἀπόλυσον.

Κοντάκιον. Ἦχος πλ. δ΄. *Τῇ Ὑπερμάχῳ.*

Τὸν ὑπελθόντα πολιτείαν ἰσουράνιον
ἐν νήσῳ Πάρῳ καὶ πλησθέντα εὐφημήσωμεν
οὐρανίων χαρισμάτων ἀρτίως πάντες

www.tezaurliturgic.ro

Συναξάριον.

Τῇ λα΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἀρσενίου, τοῦ ἐν ἐσχάτοις χρόνοις ἀσκήσαντος ἐν Πάρῳ.

Στίχοι.

Ὁσίοις, Ἀρσένιε, συνηριθμήθης
ὁσίως τελέσας σὸν βίον ἄρτι.

Συναξάριον.

Ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἀρσένιος πατρίδα ἔσχε τὴν Ἤπειρον, ἐξ ἧς ἐνωρὶς ἀπεχώρησεν ἀπορφανισθεὶς τῶν αὐτοῦ γονέων. Ἐλθὼν εἰς Κυδωνίας ἐμαθήτευσεν ἐν τῇ ἐκεῖ περιφήμῳ Ἐκπαιδευτικῇ καὶ Ἀναμορφωτικῇ Σχολῇ, τῇ διευθυνομένῃ ὑπὸ τοῦ διασήμου ἐπ' ἀρετῇ καὶ παιδείᾳ ἱερομονάχου Γρηγορίου, τοὐπίκλην Σαράφη. Ἐκεῖ ὑπαντήσας Δανιήλ, τῷ σοφῷ πνευματικῷ, θείᾳ χάριτι αὐτῷ ὑπετάγη καὶ αὐτῷ ἠκολούθησεν εἰς Ἄθωνα, ἔνθα καὶ παρ' αὐτοῦ ἐκάρη μεγαλόσχημος μοναχός. Ἐν τῷ Ἁγιωνύμῳ Ὄρει κατέδειξε πᾶσι τὴν σύνεσιν καὶ σωφροσύνην τὴν αὐτὸν κοσμοῦσαν, τὴν ἐκκοπὴν τοῦ ἰδίου θελήματος, τὴν ταπείνωσιν καὶ τὴν ἄκραν ὑπακοὴν τῷ αὐτοῦ Γέροντι. Μετ' αὐτοῦ ἀργότερον ἀνεχώρησαν ἐξ Ἁγίου Ὄρους διὰ τὴν μονὴν τῆς Πεντέλης καὶ εἶτα διὰ τὰς νήσους Σίκινον, Φολέγανδρον καὶ Πάρον, ἔνθα ἐγνωρίσθη μετὰ τοῦ διαπρυσίου ἱεροκήρυκος καὶ ὁσίου πατρὸς Κυρίλλου, τοὐπίκλην Παπαδοπούλου, τοῦ καὶ κτίτορος τῶν ἐν Πάρῳ ἱερῶν μονῶν Ἁγίου Γεωργίου Λαγκάδας καὶ Μεταμορφώσεως Χριστοῦ Δάσους. Ἐν Φολεγάνδρῳ ἐχειροτονήθη διάκονος καὶ τοῦ Γέροντος αὐτοῦ κοιμηθέντος παρέμεινεν ὀλίγα ἔτη διδάσκων ἐν τῷ σχολείῳ τῆς νήσου τὰ

www.tezaurliturgic.ro

γράμματα τῆς εὐσεβείας. Εἶτα ἐλθὼν αὖθις εἰς Πάρον ἐγκατεβίωσεν ἐν τῇ μονῇ ἁγίου Γεωργίου Λαγκάδας, ἧς προΐστατο ὁ σοφὸς συμπατριώτης αὐτοῦ Ἠλίας, τῇ προτάσει τοῦ ὁποίου ὁ Μητροπολίτης Σύρου Δανιὴλ τὸν ἐχειροτόνησεν ἱερέα καὶ ἐχειροθέτησε πνευματικόν ἐν ἔτει 1847. Ὁ Ἀρσένιος διεκρίθη ἐπ᾿ ἀρετῇ καὶ ὁσιότητι καὶ ἐν εἰρήνῃ ἐκοιμήθη καὶ ἐτάφη ἐν τῇ γυναικείᾳ μονῇ τῆς Μεταμορφώσεως Χριστοῦ τοῦ Δάσους, τῆς ὁποίας ὑπῆρξε πνευματικὸς καθοδηγητής, τῇ 31ῃ Ἰανουαρίου τοῦ σωτηρίου ἔτους 1877. Ζῶν καὶ μετὰ πότμον αὐτουργὸς ἐγένετο πλείστων θαυμάτων. Τὰ σεπτὰ αὐτοῦ λείψανα ἀνακομισθέντα τῇ 18ῃ Αὐγούστου τοῦ σωτηρίου ἔτους 1939 ἀποθησαυρίζονται ἐν τῇ μονῇ τοῦ Δάσους, ἥτις ἐπονομάζεται ἔκτοτε καὶ μονὴ ὁσίου Ἀρσενίου. Ἡ μνήμη αὐτοῦ τιμᾶται δὶς τοῦ ἔτους, ἤτοι τῇ 31ῃ Ἰανουαρίου, ἡμέρᾳ τῆς αὐτοῦ ὁσιακῆς κοιμήσεως, καὶ τῇ 18ῃ Αὐγούστου, ἡμέρᾳ τῆς ἀνακομιδῆς τῶν χαριτοβρύτων αὐτοῦ λειψάνων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. *Οὐκ ἐλάτρευσαν.*

Χάρις ἄφθορος
βλυστάνει ἐκ τοῦ τάφου σου
καὶ τῶν λειψάνων σου
τῆς θείας θήκης, σοφέ,
Ἀρσένιε ὅσιε,
πατέρων ἔσοπτρον
νέων πίστεως,
καὶ ἁγιάζει ἅπαντας
τοὺς σεμνοὺς προσκυνητάς σου.

www.tezaurliturgic.ro

Ἀρδευόμενος
τοῖς ῥείθροις τῶν ἱδρώτων σου
σεπτῆς ἀσκήσεως
ὡς φοῖνιξ, νεοφανές,
Ἀρσένιε, ὅσιε,
σαφῶς ἐξήνθησας
ἀφθαρτότητος
καρποφορίαν, ἔνδοξε,
καὶ ζωῆς τῆς αἰωνίου.

Ῥώμῃ θείας σου
ἀσκήσεως διήνυσας
καλῶς τὸν δρόμον σου
τῆς ἐπιγείου ζωῆς,
Ἀρσένιε τίμιε,
καὶ ὁμηγύρεσι
συνηρίθμησαι
ἀγγέλων δόξαν ἄοκνον
ἀναπέμπων τῷ Κυρίῳ.

Θεοτοκίον.

Ἀειπάρθενε,
Χριστόν, Ὃν ἀπεκύησας
ξένως, βαστάζουσα
ὡς βρέφος ἐν τῷ ναῷ
τεσσαρακονθήμερον
Θεοῦ ἐκόμισας
καὶ παρέδωκας
τῷ Συμεὼν δακρύοντι
ἱερεῖ ἐξ εὐφροσύνης.

www.tezaurliturgic.ro

## Ὠδὴ η΄. *Παῖδας εὐαγεῖς.*

Λάμπων τῶν ἀγώνων σου ἀκτῖσιν
ὡς ἥλιος φωτοφόρος κατεφώτισας
Ἄθωνα, Ἀρσένιε,
ἔνδροσον Φολέγανδρον
καὶ Πάρον τὴν τιμῶσάν σε
καὶ ὡς ἀτίμητον
κατέχουσαν λειψάνων σου θήκην
ὄλβον, θεοφόρε,
ἀρχέτυπον ἀζύγων.

Ἄνωθεν δεξάμενος τὴν χάριν
διέλαμψας ἐν ἀσκήσει ὡς ὁλόλαμπρος
ἥλιος, Ἀρσένιε,
καὶ ψυχὰς ἐπύρσευσας
τῶν ἀνυμνολογούντων σε
πρὸς βίον κρείττονα
καί, χαῖρε, σοὶ βοώντων ἐκθύμως,
νεαυγῶν πατέρων
τῆς Πάρου κοσμιότης.

Μέλαθρον θαυμάτων ἔδειξέ σε
ἡ χάρις ἡ ἐν σοί, πάτερ, κατοικήσασα,
θαυμαστὲ Ἀρσένιε,
καὶ πηγὴν ἀκένωτον
παντοδαπῶν ἰάσεων,
Παρίων ἔφορε,
ἐν χρόνοις τοῖς ἐσχάτοις, παμμάκαρ·
ὅθεν σπεύδοντές σοι
αἰτούμεθα σὴν χάριν.

www.tezaurliturgic.ro

ὡς γηΐνων ὑπερόπτην καὶ ὁμόζηλον
ἀσκητῶν διαλαμψάντων πάλαι κράζοντες
ὕμνοις πρέπουσι· Χαίροις, μάκαρ Ἀρσένιε.

## Ὁ Οἶκος.

Ἄγγελος λαμπροφόρος
οὐρανίου σοφίας,
Ἀρσένιε, ἀσκήσει ἐδείχθης
νυχθημέρῳ ἐν Πάρῳ, σοφέ,
καὶ τῶν μονοτρόπων καὶ πιστῶν σύλλογον
ἐσόφισας τοῖς λόγοις σου,
οὗ ἤνοιξας τὰ χείλη ψάλλειν·

Χαῖρε, Ἠπείρου ὁ θεῖος γόνος·
χαῖρε, τῆς Πάρου ἀστράπτων φάρος.

Χαῖρε, Δανιὴλ μαθητὴς τοῦ θεόφρονος·
χαῖρε, Γαβριὴλ ἀρχαγγέλου ὁμότροπος.

Χαῖρε, δένδρον ἀγλαόκαρπον τῶν τοῦ Πνεύματος καρπῶν·
χαῖρε, δρόσον τὴν οὐράνιον ὁ σταλάζων ἀρετῶν.

Χαῖρε, ὅτι βλυστάνεις ποταμοὺς ἰαμάτων·
χαῖρε, ὅτι φαιδρύνεις τὰς χορείας μερόπων.

Χαῖρε, μονῆς τοῦ Δάσους ὁ ἔφορος·
χαῖρε, ὁρμῆς δαιμόνων πολέμιος.

Χαῖρε, νεότευκτος οἶκος χαρίτων·
χαῖρε, θεόσδοτος κρήνη θαυμάτων·

**Χαίροις, μάκαρ Ἀρσένιε.**

www.tezaurliturgic.ro

Θεοτοκίον.

Πάναγνε Θεοῦ τοῦ Λόγου Μῆτερ,
φιλόστοργε, Ἄννης Τόκος σου ὁ ἅγιος,
τῆς σεμνῆς προφήτιδος,
χείλη πρὸς ἐξύμνησιν
Αὐτοῦ καλῶς διήνοιξεν,
ὅτε κατεῖδέ σε
βαστάζουσαν Αὐτὸν ἐν ἀγκάλαις
τὸν χερσὶν ἀχράντοις
βαστάζοντα τὴν κτίσιν.

Ὠδὴ θ΄. *Ἅπας γηγενής.*

Ὁ τρισαριστεὺς
ἐν μάχαις, Γεώργιος
ὁ ὑπερένδοξος,
ὤφθη σοι, Ἀρσένιε,
πορευομένῳ πρὸς τὴν φερώνυμον
αὐτοῦ μονὴν καὶ ὤτρυνε
σὲ τὸν περίλυπον
εἰς τοῦ Δάσους
ἐπιστρέψαι τάχιστα
τὴν μονήν σε ἀδίκως λυπήσασαν.

Ὕψωσον θερμῶς
τὰς χεῖρας πρὸς Κύριον
Αὐτοῦ δεόμενος,
ἀσκητὰ Ἀρσένιε,
ὑπὲρ τῶν πόθῳ
μακαριζόντων σε
καὶ εὐλαβῶς τὸν τάφον σου

www.tezaurliturgic.ro

καὶ τὰ σὰ λείψανα
προσκυνούντων,
Πάρου νέον καύχημα,
ἐν μονῇ θείας Μεταμορφώσεως.

Στῦλος ἀκλινὴς
ὀφθεὶς θείας πίστεως
ἱκέτας στήριξον
σοὺς θερμούς, Ἀρσένιε,
ἐν τῇ ἀγάπῃ
Χριστοῦ, τοὺς μέλποντας
τὴν φωτοφόρον μνήμην σου
καὶ τοὺς στενάζοντας
ἐξαιρέτως
ἐν τοῦ βίου, ὅσιε,
χαλεπαῖς καὶ δειναῖς περιστάσεσι.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ,
πρὸς νόμου ἐκπλήρωσιν
Χριστὸν προσήνεγκας
τεσσαρακονθήμερον
βρέφος εἰς θεῖον
ναὸν καὶ χαίρουσα
τοῦ Συμεὼν παρέδωκας
αὐτόν, πανύμνητε,
ταῖς ἀγκάλαις
κράζοντος· ἀπόλυσον
νῦν, Θεέ μου, τὸν γέροντα δοῦλόν σου.

www.tezaurliturgic.ro

Ἐξαποστειλάριον. *Γυναῖκες ἀκουτίσθητε.*

Ἀσκητικῶς διέλαμψας
ἐν Πάρῳ ἄρτι, ὅσιε,
καὶ τὴν ψυχήν σου λαμπρύνας
εὐχῇ, νηστείᾳ καὶ νήψει
ἐδέξω τὴν ἐνέργειαν
τοῦ παναγίου Πνεύματος
καὶ τῆς χαρᾶς, Ἀρσένιε,
τῶν οὐρανῶν ἠξιώθης
καλῶς τὸν βίον τελέσας.

Θεοτοκίον.

Σὲ πάντες μακαρίζομεν
τὴν τέξασαν τὸν Κύριον
τὸν εὐλογήσαντα χεῖρας
τοῦ Συμεών, τοῦ πρεσβύτου,
σαφῶς τοῦ προφητεύσαντος·
ῥομφαία διελεύσεται
τὴν σὴν ψυχήν, Μητρόθεε,
καὶ τῆς ὀδύνης τὸ ξίφος
αὐτήν, Παρθένε Μαρία.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.
Ἦχος α΄. *Πανεύφημοι μάρτυρες.*

Ἀρσένιε, πάτερ ἱερέ,
μονοτρόπων καύχημα,
πυξὶς ἐνθέου βιώσεως
καὶ ταπεινώσεως
ἄγαλμα, σὴν μνήμην

www.tezaurliturgic.ro

τὴν ἁγίαν σέβοντες
καὶ πόνους σου, οὓς ἔτλης πρὸς θέωσιν,
λαμπρῶς γεραίροντες
ἐκδεχόμεθα σὴν εὔνοιαν
καὶ πρεσβείας
θερμάς σου πρὸς Κύριον.

Ἀρσένιε, Πάρου ἀσκητά,
αὖχος πολυτίμητον
ἠθῶν καὶ γέρας συνέσεως,
ἀρτίως ἔλαμψας
ἀγωγῆς ἀμέμπτου
ἀστραπαῖς καὶ ἅπαντας
ἐφώτισας πιστῶς προσιόντας σοι
καὶ εὐλογίαν σου
ἐκζητοῦντας, πνευματέμφορε,
συμπαθείας
φωστὴρ νεαυγέστατε.

Ἀρσένιε, ὅρπηξ τοῦ Χριστοῦ
Ἐκκλησίας πάντερπνε,
μονῆς τοῦ Δάσους θησαύρισμα
καὶ ὄλβε ἄσυλε
τῶν Κυκλάδων νήσων,
σῇ δοθείσῃ χάριτι
πλουσίως οὐρανόθεν ἐπόπτευε
τοὺς προσιόντας σοι
καὶ πρὸς ἀρετῆς ἀπόκτησιν
καθοδήγει
αὐτοὺς καὶ τελείωσιν.

www.tezaurliturgic.ro

Ἀρσένιε πάτερ, ἀρετῶν
βάθος δυσθεώρητον,
νοῦν ἡγεμόνα κτησάμενος
σαρκὸς ἐνέκρωσας
τὰς ἐπαναστάσεις
καὶ Τριάδος γέγονας
τῆς θείας ἱερὸν καταγώγιον·
διὸ τιμῶντές σε
πρέσβυν θεῖον προβαλλόμεθα
σὲ πρὸς Κτίστην,
Χριστὸν τὸν εὐΐλατον.

**Δόξα.** Ἦχος πλ. α΄.

Τὸν ἐν ὑπακοῇ βασίλειον κτησάμενον διάδημα
ὡς τοῦ Προδρόμου καὶ Ἡλιοὺ ἑπόμενον ἐν τῇ ἀσκήσει
καὶ Κυρίλλου καὶ Ἡλιού, τῶν ἐν Πάρῳ ὁσίων, ὁμόζηλον,
Ἀρσένιον τὸν θεοείκελον, ὕμνοις οἱ πιστοὶ καταστέψωμεν·
οὗτος γὰρ ἐν Ἄθωνι καὶ Κυκλάδαις νήσοις ὁσίως πολιτευσάμενος
βασιλείας οὐρανῶν κληρονόμος ἐγένετο
καὶ φωτομόρφων ἀγγέλων σύναυλος·
καὶ νῦν Χριστοῦ τῆς μορφῆς τὸ κάλλος θεώμενος
ἀδιαλείπτως Αὐτῷ πρεσβεύει
ὑπὲρ ἡμῶν τῶν ἐμπεριστάτων καὶ χειμαζομένων
ἐν τοῦ βίου τοῖς κλύδωσι.

**Καὶ νῦν.** Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ
καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γʹ καὶ ἡ στʹ ᾠδή.

Ἀπόστολος πρὸς Γαλάτας. (Κεφ. εʹ 22 - στʹ 2).

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστι, χαρά,...

Ζήτει τῷ Σαββάτῳ τῆς ΚΖʹ Ἑβδομάδος.

Εὐαγγέλιον κατὰ Λουκᾶν. (Κεφ. ιγʹ 17-23).

Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...

Ζήτει τῇ Πέμπτῃ τῆς Δʹ Ἑβδομάδος.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις, ὁ ἀρότρῳ ὑπακοῆς,
ταπεινοφροσύνης
καὶ πρὸς Κύριον προσευχῆς
τὴν ψυχὴν ἀρώσας
ἀρτίως ἐν τῇ Πάρῳ,
Ἀρσένιε, χαρίτων
θείων κειμήλιον.

Δίστιχον.

Ἀρσένιον, νεαυγῆ Πάρου φωστῆρα,
καινοῖς ἐν ὕμνοις ἔστεψε Χαραλάμπης.

www.tezaurliturgic.ro

# ΕΓΚΩΜΙΑ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

## ΑΡΣΕΝΙΟΝ ΤΟΝ ΝΕΟΝ

ΤΟΝ ΕΝ ΠΑΡῼ ΑΡΤΙΩΣ ΑΣΚΗΣΑΝΤΑ

Ἀκροστιχὶς ἡ ἑξῆς·

**«Ἀρσένιον ὅσιον, τῆς Πάρου φωστῆρα, ὑμνεῖ Χαραλάμπης»**

### Στάσις α΄.

Ἦχος πλ. α΄. *Ἡ ζωὴ ἐν τάφῳ.*

Μεγαλύνομέν σε,
τῆς Ἠπείρου βλαστὸν
καὶ τῆς Πάρου τὸ νεόφυτον ἄνθισμα,
θεοφόρητε, Ἀρσένιε σοφέ.

Μεγαλύνομέν σε
ὡς ἀρτίως λαμπρὸν
ἐποφθέντα μιμητὴν καὶ ὁμότροπον,
ὦ Ἀρσένιε, ὁσίων ἀσκητῶν.

www.tezaurliturgic.ro

Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα·

**«Ἀρσένιον ὅσιον»**

Ἀκραιφνοῦς ἀγάπης
πρὸς Θεὸν ἀληθῶς
καὶ τὸν ἔγγιστα ἐδείχθης, Ἀρσένιε,
ἀσκητῶν νεοφανῶν ὑπογραμμέ.

Ῥῦσαι μισοκάλου
τοῦ ἐχθροῦ συμφορῶν
καὶ κακώσεων, Ἀρσένιε ὅσιε,
τοὺς ὑμνοῦντάς σε ὡς σκεῦος ἀρετῆς.

Σὲ ὁ Ζωοδότης
καὶ Πατὴρ τοῦ παντὸς
ὀρφανὸν παιδίον ὄντα, Ἀρσένιε,
προσελάβετο προνοίᾳ τῇ Αὐτοῦ.

Εἰς τὰς Κυδωνίας
ὡδηγήθης σαφῶς
θείᾳ χάριτι, ἐν αἷσπερ, Ἀρσένιε,
συνεδέθης τῷ πανσόφῳ Δανιήλ.

Νεύσας Γέροντός σου
ἀποφάσει αὐτῷ
ἠκολούθησας, Ἀρσένιε πάγκαλε.
καταπήξαντι ἐν Ἄθῳ καλιάν.

Ἰχνηλάτης πέλων
ἀσκητῶν εὐκλεῶν
ἐπεθύμησας, Ἀρσένιε, μάθησιν
οὐρανῶν φιλοσοφίας ἀληθοῦς.

www.tezaurliturgic.ro

Ὄρους Ἄθω ὤφθης
ἱερὸς οἰκιστὴς
καὶ σοφίας τοῦ Κυρίου, Ἀρσένιε,
προβολεὺς καὶ παμφαέστατος λαμπτήρ.

Νήφων, ὑπακούων,
ἀσιτῶν, ἀγρυπνῶν
καὶ εὐχόμενος ἀνῆλθες, Ἀρσένιε,
τὰς βαθμίδας ἀρετῶν παντοδαπῶν.

Ὁ ἐχθρὸς ὁ πλάνος
ἐξεπλάγη ἰδὼν
προκοπὴν εἰς ἀρετήν σου, Ἀρσένιε,
καὶ ἰσάγγελον τῷ ὄντι βιοτήν.

Σικινίων ὤφθης
καὶ Παρίων στεῤῥὸς
ἅμα καὶ Φολεγανδρίων, Ἀρσένιε,
στυλοβάτης ἐν ταῖς βίου συμφοραῖς.

Ἰατρὸς ἐδείχθης
τῶν νοσούντων ταχὺς
ὡς λαβὼν παρὰ Κυρίου, Ἀρσένιε,
χάριν νόσους ἐκδιώκειν χαλεπάς.

**Δόξα.** Τριαδικόν.

Οὐρανίου δόξης,
Παναγία Τριάς,
καταξίωσον τοὺς Σοὶ δόξαν πέμποντας
Ἀρσενίου τοῦ θεόφρονος λιταῖς.

www.tezaurliturgic.ro

**Καὶ νῦν.** Θεοτοκίον.

Νῦν καὶ εἰς αἰῶνας,
Θεοτόκε ἁγνή,
τὰ θαυμάσια τὰ σὰ μεγαλύνομεν
καὶ δοξάζομεν Υἱόν σου τὸν σεπτόν.

## Στάσις β΄.

Ἦχος πλ. α΄. *Ἄξιόν ἐστι.*

Ἄξιόν ἐστι
μεγαλύνειν σε τὸν θεοφόρον
ἀσκητὴν τῆς Πάρου, Ἀρσένιε,
τὸν συντρίψαντα δαιμόνων τὰς ὁρμάς.

Ἄξιόν ἐστι
μεγαλύνειν σε φωναῖς αἰσίαις
τὸν ἀρτιφανῶς ἀναλάμψαντα
ἐνασκήσεως, Ἀρσένιε, βολαῖς.

Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα·

**«Τῆς Πάρου φωστῆρα»**

Τοὺς ἀσκητικοὺς
ἀμειβόμενος ὁ Παντοκράτωρ
πόνους σου, Ἀρσένιε ὅσιε,
σὲ ἀνέδειξε θαυμάτων ποταμόν.

Ἡ πανσθενουργὸς
σέ, Ἀρσένιε, τοῦ Παρακλήτου
χάρις εἰς τὴν Πάρον κατηύθυνεν,
ἣν ἠγάπησας ἐξ ὅλης σου ψυχῆς.

www.tezaurliturgic.ro

Στῦλος προσευχῆς
καὶ ἀσκήσεως οὐρανομήκης
ἐποφθείς, Ἀρσένιε, ἅπαντας
ὑπερέβης ἀσκητὰς τῇ ἀρετῇ.

Πνεύματος πυρσέ,
τὸ ἀξίωμα ἱερωσύνης
ταπεινῶς, Ἀρσένιε, εἴληφας,
ὃ ἐτίμησας σῇ θείᾳ βιοτῇ.

Ἄνθος εὐθαλὲς
τῆς μονῆς ἁγίου Γεωργίου,
ἅπαντας πιστοὺς εὐωδίασας
στεναγμῶν σου καὶ δακρύων τοῖς ὀδμαῖς.

Ῥείθροις ἱεροῖς
τῶν ἱδρώτων σου ψυχὰς Παρίων
ἤρδευσας, Ἀρσένιε πάντιμε,
πρὸς ἐκβλάστησιν ἀνθέων ἀρετῆς.

Ὅσιε Χριστοῦ,
μιμητὴς ἐγένου κατὰ πάντα
σοῦ τοῦ φερωνύμου, θεόφρονος
καὶ μεγάλου, Ἀρσενίου, ἀσκητοῦ.

Ὕμνοις μελιχροῖς
ὡς ἀκόλουθον τῆς ἡσυχίας
καὶ τῆς σιωπῆς εὐφημοῦμέν σε,
πνευματέμφορε, Ἀρσένιε κλεινέ.

www.tezaurliturgic.ro

Φεύγων τὰς τιμὰς
καὶ ἐπαίνους τῶν συνασκητῶν σου
ἐν κρυπτῷ προσηύχου, Ἀρσένιε,
καὶ διέτριβες, θεόφρον, ἀσιτῶν.

Ὡς ἐπὶ πηγὰς
τῶν ὑδάτων ἔλαφοι χορεῖαι
τῶν πιστῶν, Ἀρσένιε, ἔσπευδον
ἀπολαῦσαι χαρισμάτων σου πολλῶν.

Σκέπη, ἀρωγὸς
καὶ ἀντίληψις τοῦ σοῦ σεμνείου
πέλων, θεοφόρε Ἀρσένιε,
βοηθεῖς τοῖς προσκυνοῦσί σε πιστῶς.

Τεῖχος ἀῤῥαγὲς
καὶ ὀχύρωμα εὐσεβοφρόνων,
σθεναρὲ Ἀρσένιε, σύντριψον
ἰοβόλα βέλη πλάνου σαῖς λιταῖς.

Ἥττημα ἐχθροῦ
μισοκάλου καὶ αὐτοῦ μανίας,
κλέος ἀσκουμένων, κατάπτωμα,
τῶν ἀγγέλων δήμων ὤφθης κοινωνός

**Δόξα**. Τριαδικόν.

Ῥῦσαι συμφορῶν
καὶ κακώσεων, Τριὰς ἁγία,
τοὺς δοξολογοῦντας τὸ κράτος Σου,
Πάτερ, Λόγε καὶ Παράκλητε σεπτέ.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἅγνισον ἡμῶν
τῶν ὑμνούντων σε, Θεοκυῆτορ,
σώματα καὶ πάντας διόρθωσον
λογισμοὺς τοῦ Ἀρσενίου ταῖς λιταῖς.

## Στάσις γ΄.

Ἦχος γ΄. *Αἱ γενεαὶ πᾶσαι.*

Αἱ γενεαὶ πᾶσαι
μακαρίζομέν σε,
Ἀρσένιε θεόφρον.

Αἱ γενεαὶ πᾶσαι
τιμῶμέν σε, ὁσίων,
Ἀρσένιε, φαιδρότης.

Καὶ τὰ ἑπόμενα φέροντα τήνδε τὴν ἀκροστιχίδα·

**«Ὑμνεῖ Χαραλάμπης»**

Ὑπὲρ τῶν σὲ τιμώντων
δεόμενος μὴ παύσῃ,
Ἀρσένιε, Κυρίου.

Μνημόνευε ἀπαύστως
ἡμῶν τῶν ἀνυμνούντων,
Ἀρσένιε, σοὺς πόνους.

Νῦν πόθῳ προσκυνοῦμεν
λειψάνων σου τὴν θήκην
τὴν βρύουσαν ἰάσεις.

www.tezaurliturgic.ro

Ἐκλάμπεις ἐν τῇ Πάρῳ,
Ἀρσένιε, ὡς φάρος
θαυμάτων παραδόξων.

Ἰάματα παντοῖα
ἡ θήκη σῶν λειψάνων,
Ἀρσένιε, βλυστάνει.

Χαρᾶς ἡμῶν καρδίας
πληροῖς τῶν ἐκζητούντων,
Ἀρσένιε, λιτάς σου.

Ἁγίασον τὸν βίον
ἡμῶν τῶν ἐκτελούντων,
Ἀρσένιε, σὴν μνήμην.

Ῥωσθεὶς τῷ θείῳ φίλτρῳ,
Ἀρσένιε, ἀρτίως
ἐνήσκησας ἐν Πάρῳ.

Ἀξίως νίκης γέρα
ἀπείληφας ὡς εὖχος,
Ἀρσένιε, ὁσίων.

Λαμπτὴρ ἀγαθωσύνης,
Ἀρσένιε, φωτίζεις
πιστοὺς αὐγαῖς χαρίτων.

Ἀγώνων καὶ καμάτων
ἐξέδρεψας σῶν θείων
ἀντιμισθίαν ἄνω.

www.tezaurliturgic.ro

Μονήν σου τὴν ἁγίαν
συντήρει ἐκ τῆς πλάνου,
Ἀρσένιε, μανίας.

Παρέχει ἡμῖν χάριν,
Ἀρσένιε παμμάκαρ,
ὁ τάφος σου ὁ θεῖος.

**Δόξα.** Τριαδικόν.

Ἡ τρισαυγὴς Θεότης,
καταύγασον Σῶν δούλων
τὸν νοῦν φωτί Σου θείῳ.

**Και νῦν.** Θεοτοκίον.

Σὺν πᾶσι τοῖς ἁγίοις
ὑπὲρ ἡμῶν δυσώπει
τὸν Κτίστην, Παναγία.

## ЄΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

**Εὐλογητός εἶ, Κύριε, δίδαξόν με Ἀρσένιον ὑμνῆσαι.**

Φιλεόρτων ὁ δῆμος
γεγηθὼς τὴν σὴν μνήμην
καταστέφει λειρίοις
τῶν ᾀσμάτων καὶ ᾠδῶν,
θαυματόβρυτε πάτερ,
κλέος ἀσκητῶν
νεαυγές, Ἀρσένιε·
ἀνεδείχθης γὰρ νέος φωστὴρ τῆς πίστεως.

www.tezaurliturgic.ro

**Εὐλογητός εἶ, Κύριε, δίδαξόν με Ἀρσένιον ὑμνῆσαι.**

Μύροις πάντες
ἐφυμνίων στέφομεν
τὸν Ἀρσένιον, τὸν νέον
ἀσκητὴν καὶ νήσου Πάρου ἔφορον,
οἱ φιλόσιοι ὡς μυροφόροι
κράζοντες πιστῶς·
παμμάκαρ Ἀρσένιε,
δυσωδίαν ἡμῶν παθῶν δίωξον.

**Εὐλογητός εἶ, Κύριε, δίδαξόν με Ἀρσένιον ὑμνῆσαι.**

Λίαν θερμῶς
τοῦ Χριστοῦ τὸ ὄνομα
διεκήρυξας ἐν νήσῳ Πάρῳ
καὶ ἐδόξασας Αὐτὸν
σῷ ἐναρέτῳ βίῳ·
ὅθεν δαψιλῶς
χάριν θείαν εἴληφας
θεραπεύειν ταχὺ ἀσθενεῖς, Ἀρσένιε.

**Εὐλογητός εἶ, Κύριε, δίδαξόν με Ἀρσένιον ὑμνῆσαι.**

Μυροφόροι ὡς ἄλλαι
φιλεόρτων τὰ πλήθη
προσκυνοῦντας τὴν θήκην σῶν λειψάνων
ἐν μάνδρᾳ σεπτῇ τοῦ Σωτῆρος τοῦ Δάσους
κράζουσι θερμῶς· θεόφρον Ἀρσένιε,
ἱκετῶν σου ἴσθι φύλαξ καὶ πρόμαχος.

www.tezaurliturgic.ro

**Δόξα.** Τριαδικόν.

Εὐλαβῶς προσκυνοῦντες
τὴν ἁγίαν Τριάδα,
τὸν Πατέρα, τὸν Λόγον
καὶ τὸ ἅγιον Πνεῦμα,
ἐκβοῶμεν ἐν πίστει·
ἄναρχε Τριάς,
λύτρωσαι τὸ πλάσμα σου
ἐκ μανίας τοῦ πλάνου δαίμονος.

**Καὶ νῦν.** Θεοτόκιον.

Φωτοδότην τεκοῦσα
τὸν Θεοῦ Θεὸν Λόγον
ὑπὲρ λόγον, Παρθένε,
σκοτομήνης θανάτου
ζοφερᾶς ἐλυτρώσω
γένος τῶν βροτῶν
τὸ ἀεὶ γεραῖρόν σε
καὶ δοξάζον τρανῶς
τὸν θεῖον Τόκον σου.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα,
δόξα Σοι, ὁ Θεός. (ἐκ γ΄).

Δίστιχον.

Ἀρσένιον ἔστεψεν ἀξιοχρέως
Χαραλάμπης ῥόδοις τερπνοῖς ἐγκωμίων.

ΤΕΛΟΣ ΚΑΙ ΔΟΞΑ
ΤΩ͂ ΜΟΝΩ͂ ΑΛΗΘΙΝΩ͂ ΘΕΩ͂ ΗΜΩΝ